περιεποιοῦντο. 19καὶ ἐβεβήλουν με πρὸς τὸν λαόν μου ἕνεκεν δρα- 19
κὸς κριθῶν καὶ ἕνεκεν κλασμάτων ἄρτου τοῦ ἀποκτεῖναι ψυχάς,
ἃς οὐκ ἔδει ἀποθανεῖν, καὶ τοῦ περιποιήσασθαι ψυχάς, ἃς οὐκ
ἔδει ζῆσαι, ἐν τῷ ἀποφθέγγεσθαι ὑμᾶς λαῷ εἰσακούοντι μάταια
ἀποφθέγματα. 20διὰ τοῦτο τάδε λέγει κύριος κύριος Ἰδοὺ ἐγὼ ἐπὶ 20
τὰ προσκεφάλαια ὑμῶν, ἐφ᾽ ἃ ὑμεῖς συστρέφετε ἐκεῖ ψυχάς, καὶ
διαρρήξω αὐτὰ ἀπὸ τῶν βραχιόνων ὑμῶν καὶ ἐξαποστελῶ τὰς
ψυχάς, ἃς ὑμεῖς ἐκστρέφετε τὰς ψυχὰς αὐτῶν, εἰς διασκορπισμόν·
21καὶ διαρρήξω τὰ ἐπιβόλαια ὑμῶν καὶ ῥύσομαι τὸν λαόν μου ἐκ 21
χειρὸς ὑμῶν, καὶ οὐκέτι ἔσονται ἐν χερσὶν ὑμῶν εἰς συστροφήν·
καὶ ἐπιγνώσεσθε διότι ἐγὼ κύριος. 22ἀνθ᾽ ὧν διεστρέφετε καρδίαν 22
δικαίου ἀδίκως καὶ ἐγὼ οὐ διέστρεφον αὐτὸν καὶ τοῦ κατισχῦσαι
χεῖρας ἀνόμου τὸ καθόλου μὴ ἀποστρέψαι ἀπὸ τῆς ὁδοῦ αὐτοῦ
τῆς πονηρᾶς καὶ ζῆσαι αὐτόν, 23διὰ τοῦτο ψευδῆ οὐ μὴ ἴδητε καὶ 23
μαντείας οὐ μὴ μαντεύσησθε ἔτι, καὶ ῥύσομαι τὸν λαόν μου ἐκ
χειρὸς ὑμῶν· καὶ γνώσεσθε ὅτι ἐγὼ κύριος.
1Καὶ ἦλθον πρός με ἄνδρες ἐκ τῶν πρεσβυτέρων τοῦ Ισραηλ 14
καὶ ἐκάθισαν πρὸ προσώπου μου. 2καὶ ἐγένετο λόγος κυρίου πρός 2
με λέγων 3Υἱὲ ἀνθρώπου, οἱ ἄνδρες οὗτοι ἔθεντο τὰ διανοήματα 3
αὐτῶν ἐπὶ τὰς καρδίας αὐτῶν καὶ τὴν κόλασιν τῶν ἀδικιῶν αὐτῶν
ἔθηκαν πρὸ προσώπου αὐτῶν· εἰ ἀποκρινόμενος ἀποκριθῶ αὐτοῖς;
4διὰ τοῦτο λάλησον αὐτοῖς καὶ ἐρεῖς πρὸς αὐτούς Τάδε λέγει 4
κύριος Ἄνθρωπος ἄνθρωπος ἐκ τοῦ οἴκου Ισραηλ, ὃς ἂν θῇ τὰ
διανοήματα αὐτοῦ ἐπὶ τὴν καρδίαν αὐτοῦ καὶ τὴν κόλασιν τῆς
ἀδικίας αὐτοῦ τάξῃ πρὸ προσώπου αὐτοῦ καὶ ἔλθῃ πρὸς τὸν προ-
φήτην, ἐγὼ κύριος ἀποκριθήσομαι αὐτῷ ἐν οἷς ἐνέχεται ἡ διάνοια
αὐτοῦ, 5ὅπως πλαγιάσῃ τὸν οἶκον τοῦ Ισραηλ κατὰ τὰς καρδίας 5
αὐτῶν τὰς ἀπηλλοτριωμένας ἀπ᾽ ἐμοῦ ἐν τοῖς ἐνθυμήμασιν αὐτῶν.
6διὰ τοῦτο εἰπὸν πρὸς τὸν οἶκον τοῦ Ισραηλ Τάδε λέγει κύριος 6
κύριος Ἐπιστράφητε καὶ ἀποστρέψατε ἀπὸ τῶν ἐπιτηδευμάτων
ὑμῶν καὶ ἀπὸ πασῶν τῶν ἀσεβειῶν ὑμῶν καὶ ἐπιστρέψατε τὰ
πρόσωπα ὑμῶν. 7διότι ἄνθρωπος ἄνθρωπος ἐκ τοῦ οἴκου Ισραηλ 7
καὶ ἐκ τῶν προσηλύτων τῶν προσηλυτευόντων ἐν τῷ Ισραηλ, ὃς

19 ενεκεν $2^0$ > A† | κλασματων αρτων B, κλασματος αρτου A (του seq. > A) | του περιποιησασθαι] περιεποιουντο A | ζησαι] ζην A || 21 επιβολαια] περιβ. Apau. | διοτι] οτι A || 22 διαστρεφετε Apau. | αδικως > B† | αποστρεψαι] + αυτον mu., + τον (sic) A† | πον.] + αποστρεψαι A† | ζησαι] ζητησαι A† || 23 ετι και] οτι A(†) | γνωσεσθε] pr. επι A: cf. 30 26 34 15

14 1 ανδρες / εκ(A απο) των πρεσβ.] tr. B† | του > A || 4 κυριος $1^0$ Bpau.] pr. αδωναι rel.: item in 11, cf. 14. 16 5 5 || 5 πλαγιαση] μη διαστρεψωσιν Apau. || 6 προς] εις B† | κυριος κυριος] + ο θεος A: cf. 20 5 etc. || 7 εκ $2^0$ > A† | προσηλυτευοντων] προσκειμενων A | τω > Apau.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/793 UNIVERSITÄT LEIPZIG